# De mensuribus et ponderibus (excerptum Graecum 4)

82.1 Ἕως ἐνταῦθα, φιλοκαλώτατε, ἀρκεσθέντες τοῖς προειρημένοις ἅπασι τὴν τῶν ἑρμηνευτῶν ὑπόθεσιν ἐδηλώσαμεν· εἶθ' ἑξῆς εἰς τὰ ἐπίλοιπα, καθὼς ὑπευχόμεθα, σαῖς εὐχαῖς, ἄνθρωπε τοῦ θεοῦ, τὸν νοῦν ἐπιδῶμεν περὶ τῶν ἐν ταῖς θείαις γραφαῖς σταθμῶν τε καὶ μέτρων καὶ ἀριθμῶν δηλώσοντες, πόθεν ἕκαστον ὠνόμασται καὶ τίνος ἕνεκα οὕτως κέκληται καὶ πόθεν τὴν πρόφασιν τῆς ὀνομασίας εἴληφε καὶ τίς ἑκάστου τούτων ἡ ποιότης καὶ ἡ ὁλκὴ καὶ ἡ δύναμις. 82.2 Μέτρον οὖν ἐστι κόρος, κεῖται δὲ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ, ὅθεν ὁ Σωτὴρ ἐπαινεῖ τὸν φρόνιμον οἰκονόμον τοῖς χρεωφειλέταις ἀντὶ κόρων τοσούτων ἐν τοῖς σφῶν αὐτῶν χειρογράφοις τοσούτους μεταγραψάμενον, ἀντὶ δὲ τοσούτων βάθων ἐλαίου τοσαῦτα ποιήσαντα. 82.3 Ὀνόματα γάρ εἰσι μέτρων τάδε· λεθέκ, γόμορ, βάθος, σάτον, μόδιος, κάβος, χοῖνιξ, ὑφή [σεμιδάλεως], δρὰξ ἀλεύρου, ἀρτάβη, τρία μέτρα σεμιδάλεως, τρία κανᾶ χονδριτῶν, νέβελ οἴνου, κόλλαθον, ἀλάβαστρον μύρου, καμψάκης ὕδατος, κοτύλη ἐλαίου, κύαθος, μετρητὴς οἴνου, μετρητὴς ἐλαίου, τρυβλίον, ξέστης, ἀμφορεύς, ἀπόρρυμα, σαβιθά, ἴν, χοῦς, στάμνος χρυσῆ ἐν ᾗ ἀπέκειτο τὸ μάννα, μάρης, κύπρος, κογγιάριον. 82.4 Εἴληπται τοίνυν ὁ κόρος ἐκ τῆς Ἑβραϊκῆς διαλέκτου, ὃς καλεῖται χόρ. εἰσὶ δὲ μόδιοι λ΄. χὸρ δὲ λέγεται ἀπὸ τοῦ βουνοῦ ὑποθέσεως. χορία γὰρ καλεῖται βουνός. βουνισθέντες δὲ καὶ οἱ τριάκοντα μόδιοι ποιοῦσι φορτίον καμήλου. 82.5 Λεθὲκ δὲ ὡς ἐν τῷ Ὠσηὲ τῷ προφήτῃ εἴρηται, ὅτι ἐμισθωσάμην ἐμαυτῷ λεθὲκ κριθῶν. ἐν ἀντιγράφοις δὲ γόμορ κριθῶν τὸ αὐτό ἐστι. δέκα γὰρ καὶ πέντε μόδιοι σημαίνονται οὗτοι. λεθὲκ δὲ κατὰ τὴν τῶν Ἑβραίων φωνὴν κέκληται, ὅ ἐστιν ἔπαρμα, ἀπὸ τοῦ δύνασθαι τῷ νεανίᾳ ἐπαρθῆναι τοὺς δέκα πέντε μοδίους καὶ ἐπιτεθῆναι τῷ ὄνῳ. 82.6 Τὸ δὲ αὐτὸ καὶ τὸ γόμορ καλεῖται. δύο δέ εἰσι γόμορ, μέγα καὶ μικρόν· ὧν τὸ μέγα ἰσόμετρόν ἐστι τῷ λεθὲκ δέκα πέντε καὶ αὐτὸ ὂν μοδίων, τὸ δὲ μικρὸν δώδεκα. Βάθος. καὶ τοῦτο ἀπὸ τῆς Ἑβραϊκῆς διαλέκτου παρῆκται συνωνύμως τῷ ἐλαιοτριβείῳ κα λούμενον βίθ. βάθος γὰρ ἑρμηνεύεται ἐλαιοτριβεῖον, ἔστι δὲ ξεστῶν πεντήκοντα. τὸ δὲ μέτρον ἐστὶ τῆς τοῦ ἐλαιοτριβείου ἐργασίας. 82.7 Μνασὶς ἢ μέδιμνος οἶμαι ἐκ τῆς Ῥωμαϊκῆς γλώσσης παρήχθησαν. τὸ γὰρ μεδιοὺμ μέσον ἑρμηνεύεται ἐν αὐτῇ τῇ γλώσσῃ. μανασὴς τοίνυν παρὰ Κυπρίοις μετρεῖται καὶ παρ' ἄλλοις ἔθνεσιν. εἰσὶ δὲ δέκα μόδιοι σίτου ἢ κριθῶν εἰς τὸν τῶν δέκα καὶ ἑπτὰ ξεστῶν παρὰ Κυπρίοις μόδιον. μέδιμνος δὲ παρ' αὐτοῖς τοῖς Κυπρίοις διάφορος. τὸν γὰρ μέδιμνον Σαλαμίνιοι εἴτουν Κωνστάντιοι ἐκ πέντε μοδίων ἔχουσι, Πάφιοι δὲ καὶ Σικελοὶ τεσσάρων ἡμίσεος μοδίων αὐτὸν μετροῦσιν. 82.8 Σάτον καλεῖται ἐξ αὐτῆς τῆς Ἑβραΐδος διαληφθέν, θηλυκῶς δὲ ἐκφωνούμενον. ἐν δὲ τῇ Ἑλληνίδι οὐδετέρως· σάτον γὰρ λέγεται καὶ οὐχὶ σάτος. ἔστι δὲ μόδιος ὑπέργομος ὥστε πληροῦσθαι μὲν τὸν μόδιον, δεῖν δὲ ἔτι ὑπεργίνεσθαι τὸ τέταρτον τοῦ μοδίου. κέκληται δὲ σάτα κατὰ τὴν αὐτὴν διάλεκτον ἐκφωνούμενον λῆψις καὶ ἄρσις, ἀπὸ τοῦ τὸν μετροῦντα ἕξει τινὶ τὸ μέτρον λαμβάνειν τε καὶ κουφίζειν.82.9 Τοῦ δὲ μοδίου τὸ ὄνομα διὰ πολλῆς ἀκριβείας ὑπὸ τῶν Ἑβραίων εὑρέθη εἴκοσι δύο ξεστῶν ὑπάρχον· οὐχ ἁπλῶς δὲ οὐδ' ὡς ἔτυχεν, ἀλλὰ διὰ πολλὴν ἀκρίβειαν. ὁ γὰρ δίκαιος μόδιος, καθὼς εἴωθεν ὁ νόμος λέγειν, κατὰ τὸ μέτρον τὸ ἅγιον ἐμετρήθη. τὸ δὲ ἅγιον μέτρον οὐδὲν ἄλλο ἐστὶν ἢ τὰ κβ΄ ἔργα, ἃ ἐποίησεν ὁ Θεὸς ἐν ταῖς ἓξ ἡμέραις τῆς ἑβδομάδος. 82.10 Οὗτοι οἱ εἴκοσι δύο ἀριθμοὶ πανταχοῦ εὑρισκόμενοι καὶ ἐν διαφόροις εἴδεσιν ἀριθμούμενοι, ἔν τε τοῖς εἴκοσι δύο ἔργοις οἷς ἐποίησεν ὁ Θεὸς ἐν ταῖς ἓξ ἡμέραις τῆς κοσμοποιίας, καὶ ἐν εἴκοσι δύο γενεαῖς ἀπὸ Ἀδὰμ ἄχρι τοῦ Ἰσραήλ, καὶ ἐν τοῖς εἴκοσι δύο στοιχείοις τῶν γραμμάτων ἀπὸ τοῦ ἄλεφ ἄχρι τοῦ θαῦ, καὶ ἐν τοῖς κβ΄ βιβλίοις ἀπὸ τῆς Γενέσεως ἄχρι τῆς Ἐσθήρ, μέτρον ἡμῖν * ἐγεννήθησαν κβ΄ ξεστῶν, ὃ καλεῖται παρ' Ἑβραίοις μόδη, παρ' Ἕλλησι δὲ μόδια διὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν τρανότητα. παραπλησίως δὲ καὶ Αἰγύπτιοι μέντοι τοῦτο καλοῦσιν, ὁμοίως δὲ καὶ Σύροι καὶ Ἄραβες μόδια λέγουσιν, ὃ ἑρμηνεύεται ὁμολογία. πληρωθεὶς γὰρ ὁ μόδιος ὁμολογεῖ ὅτι πεπλήρωμαι. καλεῖται δὲ καὶ γνώμων. 82.11 Κάβος δὲ ἐξ αὐτῆς τῆς διαλέκτου διάφορον μέτρον ἐστίν, ἤγουν τὸ τέταρτον μοδίου. 82.12 Χοῖνιξ δὲ καὶ ὑφὴ ἓν μέν ἐστι, διττῷ δὲ ὀνόματι κέκληται. ἔστι δὲ δύο ξεστῶν καὶ ποστημορίου. 82.13 Δρὰξ ἀλεύρου. τοῦτο ἀπερίεργόν ἐστι καὶ πᾶσι δῆλον. 82.14 Ἀρτάβη. τοῦτο τὸ μέτρον παρ' Αἰγυπτίοις ἐκλήθη. ἔστι δὲ ἑβδομήκοντα δύο ξεστῶν. ἐκ πολλῆς δὲ ἀκριβείας καὶ τοῦτο οὕτως συνήχθη. ἑβδομήκοντα δύο ἄνδρες τότε τὸν πύργον ᾠκοδόμουν, ὅτε καὶ εἰς ἑβδομήκοντα δύο γλώσσας ἐκ μιᾶς συνεχέθησαν. ὅθεν καὶ μέροπες ἐκλήθησαν εἰς τὴν μεμερισμένην φωνήν. τὸ δ' αὐτὸ τὸ μέτρον καὶ ὁ μετρητὴς ἔχει κατὰ τὸ μέτρον τὸ ἅγιον. 82.15 Τρία μέτρα σεμιδάλεως, ἃ τοῖς ἀγγέλοις Ἀβραὰμ τῇ Σάρρᾳ ἑτοιμάζειν προσέταττεν, ἐξ ὧν μέτρων ἐγκρυφίαν ἄρτου γενέσθαι ἐνετείλατο. ταῦτα δὲ τὰ μέτρα ἕκαστον γόμορ ἐχώρει. 82.16 Τὸ δὲ γόμορ δέκατον ἦν τοῦ μεγάλου μέτρου, τουτέστι τῆς ἀρτάβης, ὃ γίνεται ἑπτὰ ξέσται καὶ πέμπτον. 82.17 Τρία κανᾶ χονδριτῶν, ἔνθα εἰώθασι τότε ἀποτίθεσθαι τοὺς χονδρίτας. ἔστι δὲ εἶδος ἄρτου εἰς δύο τεμνομένου. 82.18 Νέβελ οἴνου, ὅπερ ἐστὶ μέτρον ξεστῶν ρν´. 82.19 Τὸ σάτον ν´ ξεστῶν ὑπάρχει. 82.20 Ἀλάβαστρον μύρου βικίον μέν ἐστιν ὑέλινον χωροῦν λίτραν ἐλαίου. τὸ δὲ μέτρον ἐστὶ ξέστου τὸ ἥμισυ. ἀλάβαστρον δὲ κέκληται διὰ τὸ εὔθρυπτον. 82.21 Καμψάκης ὕδατος ιβ´ ξεστῶν ὕδατός ἐστι τὸ μέτρον. ὁ δὲ τῷ Ἠλίᾳ ἑτοιμασθεὶς καμψάκης τεσσάρων ἐστὶ ξεστῶν. 82.22 Ἔστι τι μέτρον κοτύλη. ἥμισυ ξέστου ὑπάρχει. κέκληται δὲ κοτύλη ἀπὸ τοῦ τὸν ξέστην εἰς δύο κόπτεσθαι. 82.23 Κύαθός ἐστιν ἕκτον ξέστου. μεθεκὼθ δὲ λέγει τοὺς κυάθους ἡ γραφή· τὰ δὲ μασμαρὼθ λέγει τοὺς διυλιστῆρας, οὓς καὶ ἠθμοὺς καλοῦμεν. τῷ αὐτῷ δὲ ὀνόματι ἀμφότεροι κέχρηνται, ἐπεὶ καὶ τὴν αὐτὴν ἐνέργειαν ἔχουσι. 82.24 Τρυβλίον ὀψόβαφόν ἐστι τὴν πλάσιν ἤτοι παροψίς, ἥμισυ δὲ ξέστου τὸ μέτρον ἔχει. 82.25 Ξέστης ὁ Ἀλεξανδρινὸς δύο λιτρῶν φέρει ὁλκὴν ἐν τῷ ἐλαίῳ. 82.26 Ἀπόρρυμα δὲ παρὰ μόνοις Θηβαίοις μετρεῖται. ἥμισυ γὰρ τοῦ σαΐτου ἐστίν. ὁ δὲ ἀληθινὸς σαΐτης ξεστῶν ἐστιν κβ´.82.27 Σαβιθά. τοῦτο Συριακόν ἐστι τὸ ὄνομα, ὃ ἑρμηνεύεται ληνιαῖον ἄντλημα. παρὰ Ἀσκαλωνίταις ξεστῶν κβ´. 82.28 Ἴν. τὸ ἶν μέγα ξεστῶν ἐστι ιη´, τὸ δὲ ἅγιον ἶν ξεστῶν θ´. 82.29 Χοῦς ἐστι ξεστῶν η´. τὸ δὲ καλούμενον ἅγιον 82.29 ξεστῶν ´, ὅ ἐστι δωδέκατον μετρήτου. 82.30 Μάρης μέτρον ἐστὶ παρὰ τοῖς Ποντικοῖς δύο ὑδριῶν. ἡ δὲ ὑδρία αὐτοῖς δέκα ξεστῶν ἐστιν· ὥστε εἶναι τὸν κύπρον εἴκοσι ξεστῶν Ἀλεξανδρινῶν. 82.31 Κύπρος παρὰ τοῖς αὐτοῖς Ποντικοῖς μέτρον ἐστὶ ξηρῶν γεννημάτων, μόδιοι δύο, ὃ λέγεται εἶναι παρ' αὐτοῖς χοινίκων πέντε. ὁ δὲ χοῖνιξ παρ' αὐτοῖς ξεστῶν ἐστι πέντε· ὥστε εἶναι τὸν κύπρον ξεστῶν κ´. ὁ γὰρ μέγας παρ' αὐτοῖς μόδιος ξεστῶν κδ´.82.32 Κόλλαθόν ἐστι παρὰ τοῖς Σύροις τὸ ἥμισυ τοῦ ὑγροῦ σάτου. ἔστι δὲ ξεστῶν κε´. 82.33 Κογγιάριον δὲ μέτρον ἐστὶν ὑγροῦ καὶ αὐτὸ παρ' Ἑβραίοις ἐκφωνούμενον. τοῦτο τὸ μέτρον ἐστὶν ἐν χρονογραφίαις Εὐσεβίου καὶ τῶν ἄλλων χρονογράφων δηλούμενον, ὡς ἕκαστος τῶν τότε βασιλέων κατὰ φιλοτιμίαν τῷ δήμῳ Ῥωμαίων πρὸς εὐφρασίαν ἐχαρίζοντο· ὃ ἑρμηνεύεται συνημμένον ἢ συνεστραμμένον. 82.34 Τάλαντόν ἐστι τὸ ὑπερβάλλον πᾶν σταθμούμενον μέτρον. κατὰ δὲ τὸν λιτρισμὸν ρκε´ λιτρῶν ὑπάρχει. 82.35 †Ἓξ λεπτὰ ταλάντου ἑπτὰ ἀσσάρια. τὰ δὲ ἑπτὰ λεπτὰ τῶν ἀσσαρίων ρ´ ὑπάρχει δηνάρια†. 82.36 Ὁ ἀργυροῦς δὲ ἐτυπώθη ἀπ' ἀρχῆς τὸ νόμισμα. ἐκ δὲ τῶν Ἀσσυρίων τοῦτο ἐτυπώθη. φασὶ δὲ τὸν Ἀβραὰμ εἰς τὴν Χαναναίαν τὸν τύπον ἐνηνοχέναι. 82.37 Τοῦ δὲ ταλάντου τὸ ρκε´ λίτρα μία. ἡ δὲ λίτρα δέκα δύο οὐγγιῶν ὑπάρχει.82.38 Ἡ δὲ οὐγγία ἔχει στατῆρας δύο. 82.39 Ὁ δὲ στατὴρ ἥμισυ μὲν οὐγγίας, ἔχων δύο δίδραγμα. 82.40 Περὶ σίκλου. Σίκλον ὃ λέγεται καὶ κοδράντης τέταρτον μέν ἐστι τῆς οὐγγίας, ἥμισυ δὲ τοῦ στατῆρος, δύο δραγμὰς ἔχον. τῆς γὰρ οὐγγίας η´ ἦν ἡ δραγμή. 82.41



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐκαλεῖτο δὲ ὁλκὴ ἡ δραγμὴ τοῦ αὐτοῦ σταθμοῦ τῷ σίκλῳ τῷ σταθμίζοντι κατὰ καιρὸν τὴν τρίχα τοῦ Ἀβεσαλώμ, ὅτε ἐκουρεύετο, ὁλκὴν ἔχουσα ρκε΄ σίκλων, ὅ ἐστιν οὐγγία σίκλου ἑνὸς προσγινομένου λίτραι δύο ἥμισυ. 82.42 Ὀβολὸς καὶ αὐτὸς ἐν ἀργυρίοις τετύπωτο. μέρος δὲ εἶχε καὶ οὗτος η΄ τῆς οὐγγίας, οὐκ ἐξ ἀργύρου πεποιημένος, ἀλλὰ ἀπὸ σιδήρου. ἦν δὲ καὶ ἕτερος ὀβολὸς ἐξ ἀργύρου τυπούμενος, νόμισμα ὤν, ὃ ἦν λεπτότατον, ὀγδοηκοστὸν τῆς οὐγγίας. λέγει γὰρ ἐν τῷ Λευιτικῷ· τὸ δὲ δίδραχμον εἴκοσι ὀβολοί. ὅτι δὲ τέταρτόν ἐστι τῆς οὐγγίας τὸ δίδραγμον, ἤδη ἐδιδάξαμεν.82.43 Χαλκοῖ. τούτους οἱ Αἰγύπτιοι ἐφεύροντο. ἀργύρια δέ ἐστι τετυπωμένα δύο. καὶ παρὰ Ἀλεξανδρεῦσι τὰ ἀργύρια καλοῦνται χάλκινα. ἔστι δὲ ὁ χαλκοῦς τῷ σταθμῷ ὄγδοον οὐγγίας, ὡς ἡ δραγμή. 82.44 Μνᾶ, ἥτις τῇ Ἑβραΐδι μάνη καλεῖται. ἡ δὲ Ἰταλικὴ μνᾶ τεσσαράκοντα στατήρων ἐστίν, ὅπερ οὐγγιῶν κ΄, λίτρας μιᾶς καὶ διμοίρου. 82.45 Ἀργυρίων δὲ πολλοὶ τύποι κατὰ καιροὺς γεγόνασι. 82.46 Τὸ δὲ νουμίον τετύπωται ἀπὸ τοῦ Νουμᾶ τινος βασιλέως τῶν Ῥωμαίων. 82.47 Δίχρυσον δὲ ἐκάλουν οἱ παλαιοὶ τὸ ἥμισυ τοῦ ἀργυροῦ. τὸ δὲ ἀργυροῦν τοῦτό ἐστιν ὃ οἱ Ῥωμαῖοι μιλιαρίσιον καλοῦσιν, ὃ ἑρμηνεύεται στρατιωτικὸν δόμα. 82.48 Τὸ δὲ δίχρυσον καὶ τοῦτο ἀργύριον ἦν, ὅπερ ὕστερον κίβδηλον ἐκλήθη ἐξ αἰτίας τοῦ ἀναιρεθῆναι τὸν κατὰ καιρὸν βασιλέα καὶ ἐκβληθῆναι τὸν αὐτοῦ χαρακτῆρα ἐκ τοῦ διχρύσου, ὃς ἦν αὐτῷ ἐμφερόμε νος. ἔκτοτε γὰρ ἔνθα ἂν εὑρέθη τὴν τοῦ ἀναιρεθέντος βασιλέως φέρων εἰκόνα, κίβδηλος ὠνομάζετο ἤγουν ἀδόκιμος. 82.49 Φόλλις ὃ καὶ βαλάντιον καλεῖται. διπλοῦν δέ ἐστιν ὑπὸ δύο ἀργύρων συγκείμενον, οἳ γίνονται ση΄ δηνάρια. καὶ φόλλις δύο λεπτὰ κατὰ τὸν δηναρισμόν, ἀλλ' οὐ κατὰ τὸν ἀργυρισμόν.

### 83.t Περὶ ταλάντων.

83.1 Τάλαντον. τοῦτο ρκε΄ λιτρῶν ὑπάρχει, κατὰ δὲ τὰς λεπτότητας ἐν τῷ νομίσματι εἰς λεπτὸν κοπείσας εἰς λεπτὰ διαιρεῖται· ἃ καλεῖται ἀσσάρια· ὃ ἑρμηνεύεται ἐκ τῆς Ἑβραΐδος ἠλαττωμένον. ξ΄ δὲ ἀσσάρια ὑπῆρχεν ὁ ἀργυροῦς· δηνάρια δὲ ἦσαν ἐκεῖνα β΄ τὰ ὑπὸ τῆς χήρας εἰς τὸ γαζοφυλάκιον βεβλημένα. ἃ καὶ δύο λεπτὰ ἐκαλεῖτο· τὰ γὰρ ἀσσάρια λεπτεπίλεπτα ἦν. 83.2 Κεντινάριον ἀπὸ τοῦ παρὰ Ῥωμαίοις κεντούμ, ὅ ἐστιν ρ΄. 83.3 Λίτρα δὲ ἐξ Ἑβραΐδος· λὶ γὰρ λέγεται ἐμοί, τρὰ δὲ τὸ διαφέρει. 83.4 Ἡ οὐγκία ἔχει στατῆρας β΄· ἑβραϊστὶ δὲ λέγεται χουτρά· ἔστι δὲ ὁ στατὴρ Σ μὲν , δύο δὲ δίδραγμα, ἃ καλεῖται ἐπικεφάλαια, κατὰ δὲ Ῥωμαϊκὴν διάλεκτον καπίτιον· καποὺτ γὰρ τὴν κεφαλὴν καλοῦσιν. ἔστι δὲ τὸ δίδραγμον δύο δράγμαι. 83.5 Σίκλον ἀπὸ τῆς σεκὲλ Ἑβραΐδος, ὅ ἐστι ῥοπή. ἔχει δὲ δύο τὰ λεπτὰ καλούμενα, ἅ εἰσι δράγμαι δύο. 83.6 Δύο δὲ δίδραγμά εἰσι δύο σίκλοι κατὰ τὸ σίκλον τὸ ἅγιον, οἳ ποιοῦσι στατῆρα ἕνα. 83.7 Ὁ στατὴρ ἢ ὁλκὴ β΄ διδράγμων ἀποτελεῖ μέτρον. 83.8 * καλεῖται δὲ κοδράντης [τὸ σίκλον γάρ, τουτέστιν α΄ Σ ἐξάγιον]· ἑρμηνεύεται δὲ ἐκ τῆς Ἑβραΐδος κοδράντης ἤγουν ἀπόδεσμος. 83.9 Αὐτὸ δὲ σίκλον δ΄ μὲν τῆς ἐστίν, Σ δὲ τοῦ στατῆρος. δύο δὲ δράχμας ἔχει· η΄ γὰρ τῆς ἐστὶν ἡ δράγμη. καλεῖται δὲ ἡ δράχμη καὶ ὁλκή. 83.10 Ἡ θρὶξ δὲ τοῦ κουρεύματος τοῦ Ἀβεσσαλὼμ ἦν ὁλκῆς σίκλων ρκε΄· ὅ ἐστιν λα΄ καὶ σίκλου α΄ ἢ β΄ Σ λιτρῶν ... καὶ σίκλου ἑνός. 83.11 Ὀβολός. τοῦτο ὀγδοόν ἐστι τῆς ἀπὸ σιδήρου πεποιημένον. βέλος δὲ τοῦτο ἦν· πρὸ γὰρ τῆς Χριστοῦ παρουσίας διὰ τὸ ἐν πολέμῳ συγκεῖσθαι τὴν ζωὴν αὐτῶν χρείαν εἶχον πρὸς τοὺς ὑπεναντίους, καὶ διὰ τῶν τοιούτων τὰς διοικήσεις ἐποιοῦντο, ἑκάστου ε΄ βέλη καὶ ι΄ καὶ ἄρτον ἀγοράζοντος ἤ τι ἄλλο. ἔστι δὲ τοῦτο κατὰ μὲν τὴν ὁλκὴν η΄ τῆς . ἦν δὲ καὶ ἕτερος ὀβολὸς ἐξ ἀργύρου τυπτόμενον νόμισμα, ὃ ἦν λεπτότατον, ὀγδοηκοστὸν δὲ τῆς . τὸ δὲ δίδραγμον κ΄ ὀβολοί, ὅ ἐστι δ΄ τῆς . 83.12 Ὁ δὲ χαλκὸς ἀργύριόν ἐστι τετυμμένον, ὅθεν παρ' Ἀλεξανδρεῦσι τὰ ἀργύρια χαλκινὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλεῖται. 83.13 Ἔστι δὲ η´ τῆς  ἡ δράχμη. 83.14 Μνᾶ ἀντὶ τοῦ μανή· τῇ γὰρ Ἑβραΐδι μανὴ ὁ ἄργυρος καλεῖται. ἡ μὲν Ἰταλικὴ μ´ στατήρων ἐστί, τουτέστιν  κ´  α´ καὶ διμοίρου. ἡ δὲ Θηβαϊκὴ στατήρων ξ´, τουτέστι λιτρῶν β´ Σ. 83.15 Πολλοὶ δὲ τύποι ἀργυρίων τοπάλαι, οὓς νουμμοὶ ἐκάλουν ἀπὸ Νούμμα, ἐξ οὗ καὶ τὸ νόμισμα. 83.16 Μιλιαρίσιον δὲ τὸ ἀργυροῦν, ὅ ἐστι [καὶ ἀ]στρατιωτικὸν δόμα· μιλίτια γὰρ ἡ στρατεία. 83.17 Ὁ φόλλις ρκε´ ἀργύρια πληροῖ· καλεῖται δὲ παρὰ Ῥωμαίοις θύλακος. 83.18 Μάρις μέτρον ἐστὶ Ποντικὸν β´ ὑδριῶν. ἡ δὲ ὑδρία παρ' αὐτοῖς ι´ ξεστῶν ἐστιν, ὡς εἶναι τὸν κύπρον κ´ ξεστῶν Ἀλεξανδρινῶν. 83.19 Ὁ κύπρος μέτρον ἐστὶ μοδίων β´, λέγεται δὲ εἶναι παρὰ τοῖς Ποντικοῖς χοινίκων ε´. ἡ δὲ χοῖνίξ ἐστι ξεστῶν β´· ὡς εἶναι τὸν κύπρον κ´. ὁ γὰρ μέγας παρ' αὐτοῖς μόδιος ξεστῶν ἐστι κδ´. 83.20 Λίτρα παρὰ Ῥωμαίοις ἑρμηνεύεται λίβρα, ἥτις ἐτυμολογεῖται παρ' αὐτοῖς ἰσότης ἤγουν ἰσοκανονία. ἔχει δὲ οὐγκίας ιβ´. παρήχθη δὲ τὸ τῆς  ὄνομα ἐξ Ἑλληνίδος ἀπὸ τοῦ ὄγκου. 83.21 Ἡ δὲ λίτρα ἐστὶ σπη´ γραμμάτων. ἕκαστον δὲ γράμμα κερατίων ἐστὶν ´· ταῦτα δέ ἐστιν ὀστᾶ ἀπὸ κερataίας καρποῦ. ὁ δὲ ὀστῶν οὗτος ἂν ᾖ τέλειος, ὁλκὴν ποιεῖ κριθῆς εὐκάρπου ¯β· ὡς εἶναι τὴν μὲν λίτραν κριθῆς κόκκων γυν´, κερατίων αψκη´, γραμμάτων σπη´, οὐγκιῶν β´. ἡ δὲ οὐγκία ἐστὶ γραμμάτων κδ´. 83.22 Ἄλλως δὲ πάλιν μερίζεται ἡ οὐγκία παρὰ Ἑβραίοις εἰς στατῆρας β´. ὁ δὲ στατὴρ ἔχει σίκλους β´· τὸ δὲ σίκλον ἔχει λεπτὰ δύο. τὸ δὲ λεπτὸν ὁλκὴ α´ ἐστί, η´ τῆς . 83.23 Παρά τισι δὲ καὶ ὀβολὸς νόμισμα ἀπὸ τοῦ παρὰ τῶν βασιλέων ἐν τούτῳ τῷ νομίσματι τὸν κόσμον διοικεῖσθαι. ἀργύριον καλοῦμεν διὰ τὸ ἐξ ἀργύρου τετύφθαι. μέγα δέ ἐστιν, ὃς ἐκλήθη ἀργυροῦς, δηναρίων ρ´. ἕκαστον δὲ δηνάριον ἀσσαρίων ἐστὶν ξ´. 83.24 Ὁ δὲ ἀργυροῦς μανὴ παρ' Ἑβραίοις λέγεται. 83.25 Ξέστης Ἑλληνικὸς ἀπὸ τοῦ ξέεσθαι τὰ μεγάλα μέτρα εἰς λεπτότητα.

## 84.t Περὶ μέτρων.

84.1 Κόρος μόδιοι λ´· παρ' Ἑβραίοις δὲ χὸρ λέγεται. 84.2 Λεθὲκ μόδιοι ιε´. 84.3 Γόμορ ὁμοίως μόδιοι ιε´. 84.4 Βάτον μέτρον ξεστῶν ν´. 84.5 Μνασὶς δέκα μόδιοι σίτου ἢ κριθῆς εἴληπται ἐκ τοῦ μεδιοὺμ Ῥωμαίου, ὅ ἐστι μέσον. 84.6 Μέδιμνος· Σαλαμινοὶ μοδίους ε´, Σικελοὶ δὲ δ´Σ. 84.7 Σάτον μόδιον κουμουλάτον· παρ' Ἑβραίοις θηλυκῶς, παρ' Ἕλλησι δὲ οὐδετέρως. ἔστι δὲ μόδιος κουμουλάτος παρ' Ἑβραίοις, καὶ διὰ τοῦ κουμουλάτου τὸ δ´ τοῦ μοδίου τὸ ὑπέρχυμα εἴρηται σαώ, ἤγουν λῆψις ἢ ἄρσις· μόδιον παρ' Ἑβραίοις ξεστῶν κβ´. 84.8 Κάβος πῇ μὲν τὸ δ´ τοῦ μοδίου, πῇ δὲ τὸ ε´, πῇ δὲ τὸ ´· καβὰ δέ ἐστιν ἑβραϊστὶ τὸ ἔτεμεν, ὡς διὰ τὸ τέμνεσθαι εἰς μικρὰ τὸ μόδιον οὕτως ὠνομάσθη. παρὰ δὲ Ἕλλησιν ἐλέχθη κάβος διὰ τὴν τρανότητα. 84.9 Χοῖνιξ καὶ ὑφεὶ ἓν μέν ἐστι μέτρον, διττὸν δὲ ὄνομα κέκληται, ἐν μὲν τῇ Ἑβραΐδι ἀρσενικῶς, ἐν δὲ τῇ Ἑλληνίδι θηλυκῶς. ἔστι δ η´ τοῦ παρὰ Κυπρίοις μοδίου, ὅς ἐστι μόδιος παρ' αὐτῶν ξεστῶν ιζ´ καὶ †ποτηρίου. τὸ δὲ ὑφεὶ ἐξ αὐτῆς τῆς Ἑβραΐδος λέγεται ὀφεί, ὅ ἐστι τῶν β´ δρακῶν τῆς χειρὸς τὸ μέτρον. 84.10 Δρὰξ τὸ χειρόπληθες τῆς μιᾶς χειρός. 84.11 Ἀρτάβη παρ' Ἑβραίοις ξεστῶν οβ´. ὁμοίως δὲ καὶ ὁ μετρητὴς οβ´ ἐστὶ ξεστῶν· καὶ τὸ μέτρον τὸ ἅγιον, ὅ τε ὑγρὸς μετρητὴς καὶ ἡ ἀρτάβη τοῦ γεννήματος· ἀρτάβη δὲ ἐκλήθη ἀπὸ τοῦ παρ' Αἰγυπτίοις ὀρτόβ, ὅ ἐστι καλῶς συγκείμενον. 84.12 Μέτρα γ´ τὸ μικρὸν γομόρ, ὅ ἐστι ξεστῶν ´· ὥστε εἶναι τὸ ι´ τῆς ἀρτάβης. 84.13 Τρία μέτρα σεμιδάλεως. ταῦτα τὰ τρία μέτρα ἕκαστον γομὸρ ἐχώρει. τὸ δὲ γομὸρ δέκατον ἦν τοῦ μεγάλου μέτρου, τουτέστι τῆς ἀρτάβης· ὃ γίνεται ζ´ ξέσται καὶ ε´· ὥστε εἶναι τὸ αὐτὸ μέτρον τοῦ γομόρ. τρία μέτρα πάλιν ὑπῆρχεν, ἃ ἐγίνοντο ἀπὸ ξεστῶν β´· καὶ γίνονται ιε´. καὶ τὸ μὲν μέτρον τοῦτον ἔχει τὸν τρόπον.

## 85.1 Περὶ κόρου, ὃς καὶ χὸρ λέγεται.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὁ κόρος εἴληπται ἐκ τῆς Ἑβραΐδος διαλέκτου, ὃς καλεῖται χόρ· εἰσὶ δὲ μόδιοι λ΄. χὸρ δὲ λέγεται ἀπὸ τῆς τοῦ βουνοῦ ὑποθέσεως· χορίον γὰρ λέγεται βουνός· βουνισθέντες γὰρ οἱ λ΄ μόδιοι φορτίον ποιοῦσι καμήλου. 85.2 Περὶ τοῦ λεκὲθ ἢ θεκέλ. Λεκέθ, ὡς ἐν τῷ Ὡσηὲ τῷ προφήτῃ εἴρηται ὅτι ἐμισθωσάμην ἐμαυτῷ λεκὲθ κριθῆς. ἐν ἀντιστροφῇ δὲ γομὸρ κριθῶν τὸ αὐτὸ μέν ἐστι, πεντεκαίδεκα δὲ μόδιοι σημαίνονται. λεκὲθ δὲ ἀπὸ τῆς τῶν Ἑβραίων φωνῆς εἴρηται, ὅ ἐστιν ἔπαρμα ἀπὸ τοῦ δύνασθαι νεανίαν ἐπάραντα ιε΄ μοδίους σίτου ἢ κριθῆς καὶ ἐπιτιθέναι τῷ ὄνῳ. τὸ δ' αὐτὸ καὶ γομὸρ καλεῖται· ἔστι γὰρ τὸ μέγα, ὅπερ ἐκ τῆς Ἑβραΐδος διαλέκτου γομὸρ καλεῖται. ἔστι δὲ καὶ μικρὸν γομὸρ μοδίων δώδεκα. 85.3 Περὶ βάδου ἢ βάτου. Βάδον καλεῖται ὑγρὸν ξεστῶν πεντήκοντα, καὶ αὐτὸ ἀπὸ τῆς Ἑβραΐδος διαλέκτου παρηγμένον, συνωνύμως τῷ ἐλαιοτριβίῳ καλουμένῳ βήθ· βάδα γὰρ ἑρμηνεύεται ἐλαιοτριβίον· ἔστι δὲ ξεστῶν πεντήκοντα· τὸ δὲ μέτρον ἐστὶ τοῦ ἐλαίου ἐργασίου. 85.4 Περὶ μνασίδος ἢ μεδίμνου. Μνασὶς καὶ μέδιμνος, οἶμαι, ἐκ Ῥωμαϊκῆς γλώσσης παρήχθησαν· τὸ γὰρ μεδιοὺμ μέσον ἑρμηνεύεται ἐν αὐτῇ τῇ γλώσσῃ. μνασὶς τοίνυν παρὰ Κυπρίοις μετρηταῖον καὶ παρ' ἄλλοις ἔθνεσι. εἰσὶ δὲ δέκα μόδιοι σίτου ἢ κριθῆς. 85.5 Περὶ μέτρων καὶ σταθμῶν. Σάτον δέ ἐστι μόδιος κουμουλάτος· καὶ διὰ τὸ ὑπέρχυμα καλεῖται σάτον. 85.6 Τάλαντον λίτρα λεπτὴ ἐλέγετο. λεπτὰ δὲ ἐκαλοῦντο τὰ ἀσσάρια, ἤγουν τὰ δέκα νουμμία· ἑξήκοντα δὲ ἀσσαρίων ὑπῆρχε τότε τὸ δηνάριον, τουτέστι τὸ κεράτιον. ἑκατὸν δὲ δηναρίων ὑπῆρχεν ὁ ἄργυρος. †ἀργύρου δὲ ἀπ' ἀρχῆς ἐτυπώθη τὸ νόμισμα. τάλαντον δὲ κατὰ λιτρισμὸν ρκε΄ λίτραι εἰσί. τάλαντον δὲ πάλιν ἐστὶ τὸ ὑπερβάλλον πᾶν σταθμιζόμενον μέτρον. 85.7 Ἀλάβαστρόν ἐστι βισσίον ὑελοῦν, χωροῦν ἐλαίου λίτραν μίαν. ἀλάβαστρον δὲ λέγεται ἀλιπαρεὶ κομιζόμενον διὰ τὸ εὔθρυπτον. 85.8 Δραχμὴ δὲ οὐγγίας η΄· καλεῖται δὲ καὶ ὁλκή· ἔχει δὲ γράμματα τρία. ὁ ὀβολὸς ἔχει γράμματα α΄ #25. καὶ τὸ ἥμισυ τῆς δραχμῆς ὁ κύαθος ὀγγίαι β΄.

### 86.t Τοῦ ἁγίου Ἐπιφανίου Κύπρου.

86.1 Τάλαντόν ἐστι ρκε΄ λιτρῶν. 86.2 Κοδράντης ἐστὶ νομίσματος γ΄. 86.3 Τὸ ἀσσάριον, ὥς φασί τινες, δεκάνουμμον εἶναι καὶ λεπτὸν τὸ αὐτό. 86.4 Τὸ δίδραχμον τὸ τέταρτον τῆς οὐγγίας ἐστίν. 86.5 Ὁ στατὴρ ἥμισυ τῆς οὐγγίας ἐστίν, ὡς παραδίδωσιν Ἐπιφάνιος ὁ Κύπρου. 86.6 Δηνάριον τὸ η΄ οὐγγίας. 86.7 Ἀλάβαστρόν ἐστιν ἀγγεῖον στενόμηκες πρὸς πολυποσίαν ἐπιτήδειον τερπνὸν εἰς πόσιν. 86.8 Τρυβλίον τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον δισκάριον. 86.9 Κορβανῶν ἑρμηνεύεται δωροδοχεῖον. 86.10 Γολγοθᾶ, ἔνθα φασὶν Ἑβραῖοι τὸν Ἀδὰμ ταφῆναι, ὅθεν καὶ τὸ ἐπώνυμον ἔχει· ἢ ὅσον ὁ τόπος ὑψηλότερος πάσης τῆς οἰκουμένης. 86.11 Τὸν Βεελζεβοὺλ ἄρχοντα τῶν νεκρῶν οἱ περὶ Ἀκύλαν τὸν ἑρμηνευτὴν ἐκδεδώκασιν, ὡς ἐν β΄ εὕρομεν. 86.12 Τὸ μίλιον ἔχει στάδια ἑπτά, πόδας δὲ δς΄ Φιλεταιρείους καλουμένους παρ' ἡμῖν. 86.13 Ὁ πῆχυς ἕνα ἥμισυν πόδα ἔχει. τὸ καλούμενον παρ' ἡμῖν στερεόν.

### 87.t Περὶ τῶν ὑποκειμένων σταθμῶν Ἑβραίων.

87.1 Νέβελ ξέσται κδ΄. 87.2 Ἶν ξέσται ι΄. 87.3 Γόμορ ξέσται ιγ΄ ἤγουν τὸ δέκατον τῶν τριῶν σάτων. 87.4 Σάτον δέ ἐστι μέτρον ἔχον σίκλους ι΄. 87.5 Σίκλος δέ ἐστι σταθμὸς εἷς, πρὸς δὲ τὸ ἀργύριον δύο. καὶ γίνονται ὀβολοὶ κ΄. ὁ γὰρ σίκλος ὁ βασιλικὸς κ΄ ὀβολοί εἰσι καὶ παρ' ἄλλοις τὸ τέταρτον τῆς οὐγκίας. 87.6 Ἀσσάριον χάλκεον ἦν νόμισμα βάρος ἕλκον τριλιτραῖον. 87.7 Τάλαντόν ἐστιν αἱ ξ΄ μναῖ. 87.8


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μνᾶ δέ ἐστιν αἱ ρ´ δραχμαί. 87.9 Δραχμὴ δέ ἐστιν οἱ ἓξ ὀβολοί. 87.10 Ὁ στατὴρ ἔχει δίδραγμα δύο. 87.11 Δηνάριον ἦν τὰ ἑξήκοντα ἀσσάρια, ἃ καὶ λεπτὰ λέγονται. 87.12 Τὸ σάτον πάλιν παρ' ἄλλοις μόδιός ἐστι †κούμουλος. 87.13 Τὸ δὲ μέδιμνον μέτρα ρη´. 87.14 Καὶ τὸ τάλαντον νόμισμα α´.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.